UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Symmacho. 265.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Συμμάχῳ. σξε.

Εἰ τῷ ὕψει τοῦ σώματος, τὸ μείζων εἶναι τῶν ἀνθρώπων πεφάντασαι, Νεβρὼδ ὁ γίγας πολλῷ σε ὑπερῆλατο, καὶ οἱ ἀσταρὼθ γίγαντες, καὶ Γολιὰθ ὁ ἀλλόφυλος, καὶ Σαοὺλ ὁ παντὸς τοῦ Ἰσραὴλ ὑπερώμιος. ἀλλ' οὐδὲν αὐτοὺς ὤνησε τὸ μῆκος τῆς θείας ἐπιεικείας φρονήσαντας ὑψηλότερα.

*Symmacho.* 265.

Si ob corporis proceritatem omnium mortalium maximum te esse imaginaris, gigas Nembrod longè te altitudine vincebat, & gigantes Astaroth, & barbarus Goliath, & Saül, qui Israëlitas omnes humeris superabat. verùm nihil eos sublimitas iuuit, diuina benignitate ac facilitate altiùs de se sentientes.

*Genes.* / *1. Reg.* / *1. Reg.*

Κρατίνῳ. σξϛ.

Ἣν αὐτίς μοι πεῦπιν προσήγαγες, ἄλλος τις τῷ κυρίῳ· ὁ μὲν εἰρηκώς, τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω; αὐτὸς δὲ γεγραφὼς, τίνι μοναχικὴν κατορθώσω; ἀλλ' ὁ μὲν πρὸς τὸν νόμον, ὡς νηπιώδης, ἐπέμπετο· σὲ δὲ ἐγὼ, ὡς τελείων ἐφιέμενον, πρὸς ὕψος χειραγωγῶ ἀναβάσεως. ἄρνησαι σαυτὸν, καὶ ἆρον τὸν σταυρὸν, καὶ φεῦγε ὡς ἐγώ.

*Cratino.* 266.

Quam tu mihi quæstionem obtulisti, eandem alius etiam quispiam Domino obtulit: ille nimirum, cùm dixit, Quid faciens, vitam æternam possidebo? tu autem cùm scripsisti, Quanam ratione omnes Monasticæ vitæ numeros explebo? verùm ille, vt puerili animo præditus, ad legem mittebatur: ego verò te, vt perfectionis cupidum, ad ascensionis fastigium porrecta manu duco. Abnega teipsum, & tolle crucem tuam, ac mei instar fuge.

Κυρηνίῳ. σξζ.

Αὐτὸς μὲν ἠρώτησας, ποίαν ἔχει ἡ ψυχὴ ἐκεῖ τὴν κατάστασιν, ἢ τίνι τρόπῳ ἢ τόπῳ συνέχεται· ἐγὼ δὲ φημί σοι, ὅτι ἡ μὲν βιώσασα χρηστῶς, εἰς ἀνάστασιν ἐλεύσεται ζωῆς. ἡ δὲ ζήσασα κακῶς, εἰς αἰώνιον πορεύσεται πυρὰν, ἥνπερ δεδιὼς, φρόντιζε ὅπως εὑρεθήσῃ ἀκατάγνωστος καὶ ἀκόλαστος.

*Cyrenio.* 267.

Tu quidem sciscitatus es, quemnam illic anima statum habeat, aut quonam modo, vel loco contineatur. Ego verò respondeo: Ea quæ rectè atque honestè vixit, ad vitæ resurrectionē veniet: quæ autem malè & flagitiosè curriculum vitę confecerit, ad sempiternū rogum proficiscetur. Quod quidem tu metuens, curam omnem adhibe, vt condemnationis ac pœnæ expers inueniaris.

Παύλῳ. σξη.

Αὐτῷ ᾧ νομίζεις, ἐλαττώματι τῷ ἀκόμπῳ καὶ ἀγραμμάτῳ τῶν ἱερῶν τοῦ κυρίου μαθητῶν, ὑπερέχει τοῦ θείου εὐαγγελίου ἡ δύναμις, δι' ἐκείνων κρατήσασα, δι' ὧν ἄλλοι ἡττήθησαν.

*Paulo.* 268.

Hac ipsa, quam tu vitium esse existimas, sanctorum Domini discipulorum humilitate ab omni fastu & ostentatione aliena, literarúmque inscitia, diuini Euangelij vis ac potentia maiorem in modum eminet: vt quæ per ea victoriam adepta sit, per quæ alij victi sunt.

*Act.*

Μάρωνι πρεσβυτέρῳ. σξθ.

Εἰ καὶ ἀλόγιστος εἶ καὶ ἀνάγωγος. ἀλλ'

*Maroni Presbytero.* 269.

Quanquam tu vecors es atque contu-